## 28 OCTOMBRIE
## ANTONIOS MARKOU

# PARACLISUL SF.IERARH DIMITRIE, MITROPOLITUL ROSTOVULUI




## PARACLISIERUL PE OCTOMBRIE-GR


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# Παρακλητικός Κανών Ἁγίου ΔΗΜΗΤΡΙΟΥ, ἀρχιεπ. Ῥοστώφ

## Ποίημα Ἀντώνιος Μάρκου

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τοῦ Ἱεράρχου ἱκεσίαις, Οἰκτῖρμον,* τοῦ Δημητρίου τοῦ ἐν Ῥοστώφ Ἐπισκόπου* τοῦ ἐν Ῥωσίᾳ, Πατρός ἡμῶν τοῦ θαυματουργοῦ,* πέμψον τά ἐλέη Σου* ἐπί λαόν ἀσεβοῦντα* καί παραπικραίνοντα* Σέ τόν τῶν ὅλων Δεσπότην.* Αὐτόν προσάγωμεν γάρ ὡς πρεσβευτήν,* ὡς κεκτημένον* τήν χάριν Σου, Κύριε.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Τῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν* οἱ τυραννούμενοι ἐχθροῦ δυναστείᾳ,* τῇ θεϊκῇ Σου σκέπασον ἀγάπῃ ἡμᾶς·* σπεῦσον, Κόρη, ῥύσασθαι* τῶν τοῦ Βελίαρ παγίδων* καί τῆς καταθλίψεως* καί τῆς δαιμόνων μανίας·* Σοῦ γάρ ὑπάρχει ἡ Εἰκών ἡ τοῦ Ῥοστώφ,* ἡ ἐν Ῥωσίᾳ,* ἡμῶν ἡ ἀντίληψις.

Ὁ Ν΄ (50) Ψαλμός.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς ἐν τοῖς Θεοτοκίοις· *ΑΝΤΩΝΙΟΥ.*

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Χάρισαι μοι λόγον, Τριάς σεπτή,* λιταῖς τοῦ ἁγίου* Λειτουργοῦ Σου καί φωτισμόν,* ἵνα δυνηθῶ τοῦ ἀνυμνῆσαι,* τὰ κατ' ἐχθροῦ αὐτοῦ ἔνδοξα τρόπαια.

Ἀγάπης τόν ἔμπλεον, ἀδελφοί,* ὑμνήσωμεν ὕμνοις* θεαρέστοις καί τῇ αὐτοῦ* προσπέσωμεν θήκῃ ἐκζητοῦντες* αὐτοῦ τήν σώζουσαν πάντας ἀντίληψιν.

Ἴον εὐωδέστατον τοῦ Σταυροῦ,* κρῖνον ἐκβλαστήσαν* ἐν τῇ Ῥωσίας ἁγίᾳ γῇ,* ῥόδον εὐωδέστατον, Πάτερ,* τῇ Ἐκκλησίᾳ ἐπίκυψον, Ἅγιε.

Θεοτοκίον.

Ἄνασσα Κόρη, ὑπερφυῶς,* τέτοκας τόν Λόγον* ὁμοούσιον τῷ Πατρί* καὶ Πνεύματι ἅμα· διὸ πάντες,* ὡς Θεοτόκον ἀεὶ μακαρίζομεν.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Ῥίψας πάντα διά φόβον* τόν τοῦ Θεοῦ, Ἅγιε,* πάσας τῆς σαρκὸς τὰς ὀρέξεις καταπεπάτηκας·* διό ἐπόμβρισον* τοῖς σέ τιμῶσι τόν φόβον* τοῦ Κυρίου, ἔνδοξε* Πάτερ Δημήτριε.

Ἐμπαθείας νικήσας* τούς λογισμούς, Ἅγιε,* πράος καὶ ἀκέραιος ὤφθης* καὶ πλήρης χάριτος,* παιδεύων τέκνα σου* πρὸς ἐπιδόσεις ἁγίας·* ἡμᾶς οὖν παραμύθησον,* θεῖε Δημήτριε.

Ὅλως καθηγιασμένος,* ὅλως οὐράνιος ἄνθρωπος,* ὤφθης ἐν τῇ γῇ βιώσας* βίον Ἀγγέλων οὐράνιον·* ὅθεν ἡμᾶς

τούς τιμῶντας θείαν μνήμην σου* καταξίωσον* Ἀγγέλους ἔχειν ὡς πρότυπον.

Θεοτοκίον.

Νεκρωθέντα με, Κυρία,* ταῖς τοῦ Βελίαρ προσκρούσεσι,* ζώωσον δεινῶς νεκρωθεῖσαν τοῖς παραπτώμασι,* Παρθένε Ἄχραντε,* τὴν παναθλίαν ψυχήν μου* καὶ ταύτην συνέτισον* φόβῳ τοῦ Κτίσαντος.

Διάσωσον* ταῖς Δημητρίου πρεσβείαις Παντελεῆμον,* ὅτι πάντες κατόπιν Σοῦ αὐτῷ καταφεύγομεν,* ὡς ἔχοντι τήν πρός Σέ παῤῥησίαν.

Ἐπίβλεψον* ἐπικαμπτόμενος Θεοτόκου* καί τοῦ Ἁγίου ταῖς λιταῖς Οἰκτῖρμον,* ἐφ’ ἡμᾶς τούς ἀσθενεῖς* καί λύτρωσαι τόν λαόν Σου.

Κάθισμα. Ἦχος β'. Τά ἄνω ζητῶν.

Ῥοστώφ τῇ σεπτῇ* Εἰκόνι νῦν προσπίπτομεν,* οἱ ἐν πόνοις ψυχῆς* καί θλίψεσι ὑπάρχοντες·* καί δι’ αὐτῆς αἰτούμεθα* τῆς Θεοτόκου τό ἄμετρον ἔλεος* καί τήν ταχεῖαν Ταύτης συνδρομήν,* Δημητρίου ἱκεσίαις τοῦ θεόφρονος.

Ὠδή δ'. Εἰσακήκοα Κύριε.

Πάτερ θεῖε ἐπάκουσον,* λύτρωσαι κινδύνων τοὺς σὲ γεραίροντας* καὶ τιμῶντάς σου τὰ λείψανα,* ὅπως σέ ἀπαύστως μακαρίζομεν.

Ἀνυμνοῦμεν σε, ἔνδοξε·* διό νενεκρωμένην ψυχὴν ἡμῶν* ἐξανάστησον πρεσβείαις σου,* ἐραστά Κυρίου πανσεβάσμιε.

Βαρυνθέντας τοῖς πάθεσι,* ὡς ἔχων παῤῥησίαν Κυρίῳ πρέσβευε,* τοῖς ὑμνοῦσί σε δωρήσασθαι,* τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Θεοτοκίον.

Τῆς Μητρός Σου δεήσεσι* καί τοῦ Δημητρίου Κύριε δώρησαι,* τοῖς ἱκέταις Σου τὴν ἄφεσιν* τῶν πλημμελημάτων, Ὑπεράγαθε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἐλέησον ἡμᾶς* ταῖς πρεσβείαις σου, πανεύφημε,* ὡς ἐλέους τοῦ Κυρίου ἐραστής,* Ῥαστωβίας τῆς μεγίστης ἴον εὔοσμον.

Νίκην ἐκ Θεοῦ* ταῖς εὐχαῖς Σου ἡμῖν δώρησαι,* τοῦ Βελίαρ καταργῶν τάς προσβολάς,* ὡς Κυρίου Ἀρχιθύτης, Πάτερ Ἅγιε.

Ἴασαι πιστούς,* τούς λειψάνοις σου προστρέχουσι,* θεῖε Πάτερ, καί αἰτουμένους παρά σοῦ* ἀσθενείας ἐξ ἁπάσης νῦν τήν ἴασιν.

Θεοτοκίον.

Ὡράϊσον, Ἁγνή,* ταῖς ἀκτῖσι τοῦ προσώπου Σου,* τὸ καθαρὸν Χριστοῦ παλάτιον* καὶ καθορᾶν με τῆς μορφῆς Αὐτοῦ ἀξίωσον.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Ἐνάρετος* ἀνεδείχθης, Ἅγιε,* διὰ βίου ἀσκηθεὶς θεαρέστως·* διό οὐρανῶν τῆς χαρᾶς ἀπολαύεις* καὶ τὸν Θεὸν καθορᾷς τὸν Τρισάγιον·* ὅθεν ἐνίσχυσον κἀμὲ* ἐν μετανοίᾳ βιῶσαι τὸν ἄθλιον.

Πατάξαντα* τῶν δαιμόνων φάλαγγας* σὲ ὁρῶμεν οὐρανίῳ παστάδι,* ἐν ᾗ ἀεί, τοῦ Ῥοστώφ Ἀρχιθῦτα,* δοξολογεῖς σὺν Ἀγγέλοις τὸν Κύριον·* ἀξίωσον οὖν καὶ ἡμᾶς,* μετὰ σοῦ αἰωνίως εὐφραίνεσθαι.

Δεήθητι* ὑπέρ τιμώντων σήν μνήμην·* μή ἐπιλάθου τῷ Κυρίῳ πρεσβεύειν,* ὡς παῤῥησίαν κεκτημένος, ὦ Πάτερ,* νῦν ἐν τῷ πόλῳ χορεύων καί ἔλεος* δυνάμενος ταῖς σαῖς λιταῖς* ἐπομβρίσαι ἡμῖν τοῖς ἱκέταις σου.

Θεοτοκίον.

Νενίκημαι,* ὑπό παθῶν τῶν τοῦ βίου* τῶν ἀκαθάρτων, ἅ μολύνουσι, Μῆτερ,* τήν ἐν ἐμοί τοῦ Κυρίου εἰκόνα·* παρηγορίας πηγή παρηγόρησον,* τόν δάκρυσι καί στεναγμοῖς* κατατρυχόμενον, Κόρη Πανύμνητε.

Διάσωσον* ταῖς Δημητρίου πρεσβείαις Παντελεῆμον,* ὅτι πάντες κατόπιν Σοῦ αὐτῷ καταφεύγομεν,* ὡς ἔχοντι τήν πρός Σέ παῤῥησίαν.

Ἐπίβλεψον* ἐπικαμπτόμενος Θεοτόκου* καί τοῦ Ἁγίου ταῖς λιταῖς Οἰκτῖρμον,* ἐφ’ ἡμᾶς τούς ἀσθενεῖς* καί λύτρωσαι τόν λαόν Σου.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Δημητρίου οἱ πιστοί τήν μνήμην σήμερον* ᾠδαῖς εὐήχοις καί εὐμόλποις μακαρίσωμεν,* τοῦ κλεήσαντος τόν θρόνον τῆς ἐν Ῥωσίᾳ* Ῥαστωβίας, ἐν αὐτῇ ἐπισκοπεύσαντος* καί ἀρετήν διά βίου προκηρύξαντος· πρός ὅν εἴπωμεν,* χαίροις Πάτερ θεόσοφε.

Προκείμενον. *Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ἰωάννην (Κεφ. ι΄ 1-9).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου…

Καί νῦν. Ταῖς τῆς Θεοτόκου…

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Δεῦτε τόν ἐν τῷ Ῥοστώφ* Πρωθιεράρχην ἐν ὕμνοις* καί ᾠδαῖς τιμήσωμεν* οἱ αὐτῷ προσπίπτοντες* μετά πίστεως·* τῷ Θεῷ οὗτος γάρ*

ὑπέρ λαοῦ ἅπαντος* μετά ζέσεως προσδέεται,* προχέων ἅπασι* ἡμῖν τήν τοῦ Κυρίου ἀντίληψιν* καί Τούτου τήν σωτήριον* ἐπί τοῖς δεομένοις βοήθειαν·* χαῖρε αὐτῷ βοῶντες* δοχεῖον τοῦ Κυρίου ἐκλεκτόν* καί τῆς Αὐτοῦ ὁμηγύρεως* μέλος τιμιώτατον.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Νόσων καί κινδύνων* ἰατρός ἐδόθης,* Πάτερ, τῷ κόσμῳ· διό θεράπευσον* τραύματα καί πληγάς τε* ὁρατάς, ἀοράτους,* ὅπως ἀεὶ ἐκβοῶμεν σύν σοι·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Ἡλίου τοῦ ἀδύτου,* Χριστοῦ τοῦ Βασιλέως,* κατηξιώθης ἰδεῖν* Δημήτριε τὴν δόξαν* ἐν γῇ περιπολεύων* καὶ ὑμνεῖν Αὐτοῦ ὄνομα·* διό ἐλέησον ἡμᾶς* ταῖς πρός Αὐτόν σαῖς ἐνθέρμοις δεήσεσι.

Ἐν τῇ σῇ προστασίᾳ* Δημήτριε καυχᾶται* ἡμῶν ναΐδριον* καὶ πάντας προσκαλεῖται* τελέσαι σου τὴν μνήμην* καὶ πιστῶς ἀποῤῥύσασθαι* ἐκ τοῦ λειψάνου τοῦ σοῦ* ἰάματα ποικίλα.

Θεοτοκίον.

Ὦ Μῆτερ Θεοτόκε,* ἐπαίρουσα μή παύῃς* χεῖρας Υἱῷ Σου Ἁγνή·* ἀνάψυξον, Παρθένε,* ψυχάς πεπυρωμένας,* τῶν μετά πόθου ψαλλόντων Σοι·* χαῖρε οὐράνιε λιμήν* πάντων τῶν σωζομένων.

Ὠδή η΄. Τόν Βασιλέα.

Ῥῦσαι κινδύνων* καὶ πειρασμῶν πολυτρόπων* τοὺς προστρέχοντας τῇ θείᾳ σου πρεσβείᾳ* καὶ σὲ ὑμνολογοῦντας,* ὡς θεῖον Ἱεράρχην.

Κύπτουσι πάντα* τῆς Ἐκκλησίας τά μέλη* καί αἰτοῦνται τήν σήν θεοφιλῆ πρεσβείαν,* σοῦ τῆς Ῥαστωβίας,* Δημήτριε, Ποιμένος.

Ἤδη πληροῦντες* Δημητρίου τόν ὕμνον,* ἐλπίζομεν τυχεῖν αὐτοῦ πρεσβείαις,* γνησίας μετανοίας* καί μακαρίου τέλους.

Θεοτοκίον.

Ὦ φῶς μοι δίδου,* ψυχῆς ἀορασίαν,* φωταγωγοῦσα Σύ, φωτός ἀκτίστου Μῆτερ,*
τοῦ δεομένου* τυχεῖν τοῦ Σοῦ ἐλέους.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Νικῆσαι διαβόλου* δόκανα καί παγίδας* τῇ σῇ πρεσβείᾳ αἰτούμεθα, πάνσοφε,* οἱ τὴν σὴν μνήμην τιμῶντες,* Πατέρων σύσκηνε.

Ἴδε μου τήν πτωχείαν* τοῦ ταῦτα στιχουργοῦντος* καί σαῖς πρεσβείαις πρός Κύριον,
Ἅγιε,* ἐμπλούτισον ἐμήν ψυχήν* δωρεάν τῶν χαρίτων τοῦ Πνεύματος.

Ὁδόν τῆς μετανοίας* ἀξίωσον βαδῖσαι*
καί τό χειρόγραφον, μάκαρ, διάῤῥηξον* τῆς ἁμαρτίας, τοῦ τήν σὴν μνήμην κηρύττοντος.

Θεοτοκίον.

Σωτῆραν ἡ τεκοῦσα,* Παρθένε Θεοτόκε,* τῷ Δημητρίῳ ὁμοῦ ἱκετεύσατε,* ἵνα δωρήσηται ἡμῖν* πταισμάτων ἄφεσιν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,* μακαρίζειν Σε τήν Θεοτόκον,* τήν ἀειμακάριστον καί παναμώμητον* καί μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τήν τιμιωτέραν τῶν Χερουβείμ* καί ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σερα φείμ,* τήν ἀδιαφθόρως* Θεόν Λόγον τεκοῦσαν,* τήν ὄντως Θεοτόκον* Σέ μεγαλύνομεν.

Μεγαλυνάρια.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί* Δημήτριον θεῖον* τόν τῆς Πίστεως ὁδηγόν,* τόν ἐκ Ῥαστωβίας ἐκλάμψαντι τῷ κόσμῳ* καί φῶς τῷ τοῦ Σωτῆρος* ἡμῖν ἐκλάμποντι.

Χαίροις Πάτερ ἅγιε θαυμαστέ,* μύστα τῶν ἀρρήτων,* πενομένων προνοητά·* χαίροις τοῦ Κιέβου* ὁ γόνος καί Ῥωσίας* Ἁγίας ὁ προστάτης,* ἡμῶν δέ πρόμαχος.

Ἀγῶσιν ἐνθέοις τήν σήν ψυχήν* ἐν γῇ ἁγιάσας* νῦν χορεύεις ἐν οὐρανοῖς,* μετά τῶν Ἁγίων* Πατέρων Ἱεράρχα·* ὅθεν ἡμῖν ἐκεῖθεν* πίστιν ἐπόμβρισον.

Χαίροις τῶν Ποιμένων ὑφηγητής,* Δημήτριε Πάτερ,* Ἐπισκόπων ὑπογραμμός·* χαίροις Ἐκκλησίας Ῥωσίας ἀντιλήπτωρ,* τῆς ἀρετῆς δὲ τύπος* καὶ ἐγκαλλώπισμα.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες* μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν* εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς,* πάσης γάρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ,* οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς,* ἐπί Σοί γάρ πεποίθαμεν.* Μή ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν.* Ἀλλ’ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.* Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου,* πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν,* ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·* Σύ γάρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἀπόλυσις. Τῶν δέ Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τοῦ Ἁγίου καί χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τούς προσφεύγοντας πιστῶς,* ἐν τῷ σῷ ἀφθάρτῳ λειψάνῳ,* Πάτερ Δημήτριε,* ῥύου πάσης θλίψεως καί περιστάσεως·* τῶν παθῶν δέ διάλυσον* τόν σάλον πταιόντων,* ἅπασι προχέων νῦν* χάριν σωτήριον·* Σύ γάρ τῆς Ῥωσίας ὑπάρχεις* καί τῆς Ῥαστωβίας προστάτης,* πάντων δέ πιστῶν σεπτόν ἐντρύφημα.

Δέσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύτρωσαι ἡμᾶς,* ἀπό πάσης ἀνάγκης και θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου,* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπό τήν σκέπην Σου.

Δίστιχον.

*Ἀντώνιος ὕψωσεν Δημητρίῳ χεῖρας,*

*Αἰτούμενος χάριν λαβεῖν παρά Κυρίου.*


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ